10. Ἀλιτήριος εἶ· ἐπὶ τοῦ μετὰ βίας τι ποιοῦντος ἀπὸ ἱστορίας. λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους. ἥρπαζον οὖν τινὲς ἀλούμενα τὰ ἄλευρα. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς, ἀλιτηρίους ἐκάλουν. ὁ δὲ λιμὸς ἐγένετο ἀπὸ τῆς αἰτωλικῆς πολέμης.

– Ἀλκυονίδες ἡμέραι ἄγεις· ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπιταράκτων. περὶ τοῦ χρόνου διαφέρονται. Σιμωνίδης γὰρ ἐν πενταμέτροις ἕνδεκα φησὶν αὐτάς. καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων. Δημαγόρας ἑπτά. Φιλόχορος ἐννέα. τὸν δὲ ἐπ' αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων λέγει οὕτως. Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλλήνη, Δριμὼ, Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἔρριψαν αὐτὰς εἰς τὴν θάλασσαν. Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε. καὶ ἀπὸ τοῦ πατρὸς Ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ γενόμεναι κατὰ γαλήνην ἑπτὰ ἡμέραι, Ἀλκυονίδες καλοῦνται.

Ἁλιεὺς πληγεὶς νοῦν οἴσει· ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων, ὥσπερ καὶ ὁ πληγεὶς ἁλιεὺς ἀσφαλῶς μετὰ τὴν ζεῦξιν τοὺς ἰχθύας μεταχειρίζεται.

Ἀλκὰς ἐν, ἄλλα τραγῳδοὺς ἐκμιμοῦσθαι· ἐπὶ τῶν μὴ προσηκόντα ἔξω τοῦ φρονεῖν, ἀλλ' ἄνοια.

Ἅλμη οὐκ ἔνι ἐν αὐτῷ· ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀχαρίστου.

Ἄλλῃ σοὶ μηδὲν χρεῶν, ὅπη λῷον. Δημοκρίτου ἡ ὑποθήκη.

Ἄλλην μὲν ἐξηντλήκαμεν, ἡ δ' ἐπιῤῥεῖ· ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει· ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις. Λεύκων γὰρ τις γεωργὸς, μέλιτος ἀσκοὺς εἰς φορμοὺς ἐμβαλὼν ἐκόμιζεν εἰς Ἀθήνας. κριθὰς τοῖς φορμοῖς ἐπιβαλὼν, ὡς ἄλλην διαπραξάμενος τέλος. τοῦ δὲ ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔγνωσαν ὅτι μέλι ἐστί.

F [12.] Ἄλλα καὶ κύαμον· ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ. οἱ γὰρ μάντεις ἄλλα καὶ κύαμον τιθέασιν, ὅθεν καὶ τοὺς ἀπορρήτων κοινωνοῦντας, τοὺς περὶ ἄλλα καὶ κύαμον ἔλεγον.

Ἅλις δρυός· ἐπὶ τῶν εἰς τινα δίαιταν βελτίονα μεταβαλλομένων. παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοί, μετῆλθον σίτου καὶ οἴνου.

Ἄλλη τορέλλη· ὑπόμνημα γερόντων. ἐκ τοῦ θορὸς γίνεται.

Ἀλκήστιδος ἀνδρεία· ἐπὶ τῶν καρτερικῶν. καὶ Ἀλκήστιδος ἀναβίωσις· ἐπὶ τῶν ἀδυνάτων καὶ ἀπίστων. λέγεται γὰρ μῦθος τραγικώτατος, ὡς δὴ μέλλοντος Ἀδμήτου θανεῖν, αὐτὴ ἑλέσθαι ὑπὲρ αὐτοῦ θάνατον. καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀγασάμενος καὶ ἀναγαγὼν αὐτὴν ἐκ τοῦ ᾅδου, ἀπέδωκεν Ἀδμήτῳ. ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαι ἀναβιῶναι. ἀλλ' ἐγένετό τι τοιοῦτον. ἐπειδὴ Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ υἱὸς τοῦ Πελίου ἐδίωκεν αὐτὰς, ἀποθανεῖν μέν. Ἄλκηστις δὲ καταφυγοῦσα εἰς Φεράς πρὸς Ἄδμητον ἀνεψιὸν αὐτῆς. καὶ καθεζομένης ἐπὶ τῆς ἑστίας, οὐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλὴν στρατιὰν παρασκευάσας ἐπὶ τὴν πόλιν, ἐπυρπόλει αὐτούς. ἐξιὼν δὲ ὁ Ἄδμητος ἔχων καὶ λοχαγοὺς νύκτωρ συνελήφθη ζῶν. ἠπείλει δὲ Ἄκαστος ἀποκτεῖναι αὐτόν. πυθομένη δὲ ἡ Ἄλκηστις, ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτὴν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. τὸν οὖν Ἄδμητον ἀφῆκεν ὁ Ἄκαστος, ἐκείνην δὲ συνέλαβε. ἔλεγον οὖν οἱ ἄνθρωποι ἀνδρεία γε ἡ Ἄλκηστις ἐποίησεν ὑπεραποθανεῖν Ἀδμήτου.

Haec ex Palaephato hausta sunt, quem vid. Cap. 41.